ἐπιγῆμαι δὲ αὐτὸν δευτέραν, ἣν εὑρὼν ἀκολαστοτέραν προχειροτέρως εἰς τὴν κατὰ τῶν γυναικῶν βλασφημίαν ἐθρασύνετο. αἱ δὲ γυναῖκες ἐβουλήθησαν αὐτὸν κτεῖναι εἰσελθοῦσαι εἰς τὸ σπήλαιον, ἐν ᾧ γράφων διετέλει. διαβάλλεται δὲ ὑπὸ φθόνου, ὡς τὸν Κηφισοφῶντα εἶχε συμποιοῦντα αὐτῷ τὰς τραγῳδίας. λέγει δὲ καὶ Ἕρμιππος Διονύσιον τὸν Σικελίας τύραννον μετὰ τὴν τελευτὴν τοῦ Εὐριπίδου τάλαντον τοῖς κληρονόμοις αὐτοῦ πέμψαντα λαβεῖν τὸ ψαλτήριον καὶ τὴν δέλτον καὶ τὸ γραφεῖον, ἅπερ ἰδόντα κελεῦσαι τοὺς φέροντας ἐν τῷ Μουσῶν ἱερῷ ἀναθεῖναι ἐπιγράψαντα τοῖς αὐτοῦ [καὶ] Εὐριπίδου ὀνόμασι. διὸ καὶ ξενοφιλώτατον κεκλῆσθαι φασὶ διὰ τὸ μάλιστα ὑπὸ ξένων φιλεῖσθαι· ὑπὸ γὰρ Ἀθηναίων ἐφθονεῖτο. μειρακίου δέ τινος ἀπαιδευτοτέρου στόμα δυσῶδες ἔχειν ὑπὸ φθόνου αὐτὸν εἰπόντος, ‘εὐφήμει’ ἔφη· ‘μέλιτος καὶ Σειρήνων γλυκύτερον στόμα’.

ἔσκωπτε δὲ τὰς γυναῖκας διὰ τῶν ποιημάτων δι᾽ αἰτίαν τοιάνδε. εἶχεν οἰκογενὲς μειράκιον ὀνόματι Κηφισοφῶντα· πρὸς τοῦτον ἐφώρασε τὴν οἰκείαν γυναῖκα ἀτακτοῦσαν. τὸ μὲν οὖν πρῶτον ἀπέτρεπεν ἁμαρτάνειν· ἐπεὶ δ᾽ οὐκ ἔπειθε, κατέλιπεν αὐτῷ τὴν γυναῖκα, βουλομένου αὐτὴν ἔχειν τοῦ Κηφισοφῶντος. λέγει οὖν καὶ ὁ Ἀριστοφάνης·

> Κηφισοφῶν ἄριστε καὶ μελάντατε,
> σὺ δὲ συνέζης ὡς τὰ πόλλ᾽ Εὐριπίδῃ
> καὶ συνεποίεις ὥς φησι καὶ τὴν μελῳδίαν.

λέγουσι δὲ καὶ ὅτι [αἱ] γυναῖκες διὰ τοὺς ψόγους οὓς ἐποίει εἰς αὐτὰς διὰ τῶν ποιημάτων τοῖς Θεσμοφορίοις ἐπέστησαν αὐτῷ βουλόμεναι ἀνελεῖν, ἐφείσαντο δὲ αὐτοῦ πρῶτον μὲν διὰ τὰς Μούσας, ἔπειτα δὲ βεβαιωσαμένου μηκέτι αὐτὰς κακῶς ἐρεῖν. ἐν γοῦν τῇ Μελανίππῃ περὶ αὐτῶν τάδε φησί·

> μάτην ἄρ᾽ εἰς γυναῖκας ἐξ ἀνδρῶν ψόγος
> ψάλλει, κενὸν τόξευμα, καὶ κακῶς λέγει·
> αἱ δ᾽ εἴσ᾽ ἀμείνους ἀρσένων, ἐγὼ λέγω

καὶ τὰ ἑξῆς. οὕτω δὲ αὐτὸν Φιλήμων ἠγάπησεν, ὡς τολμῆσαι περὶ αὐτοῦ τοιοῦτον εἰπεῖν·

> εἰ ταῖς ἀληθείαισιν οἱ τεθνηκότες
> αἴσθησιν εἶχον, ἄνδρες ὥς φασίν τινες,
> ἀπηγξάμην ἂν ὥστ᾽ ἰδεῖν Εὐριπίδην.

---

Εὐριπίδης Μνησαρχίδου Ἀθηναῖος. τοῦτον οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ ὡς λαχανοπώλιδος κωμῳδοῦσι. γενέσθαι δὲ κατ᾽ ἀρχὰς μὲν αὐτὸν φασὶ ζωγράφον, σχολάσαντα